Od.11.1 Αὐτὰρ ἐπεί ῥ´ ἐπὶ ν$^{2}$ῆα κατήλθομεν ἠδὲ θάλασσαν,
Od.11.2 νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
Od.11.3 ἐν δ´ ἱστὸν τιθέμεσθα καὶ ἱστία νηῒ μελαίνῃ,
Od.11.4 ἐν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν, ἂν δὲ καὶ αὐτοὶ
Od.11.5 βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.
Od.11.6 ἡμῖν δ´ αὖ κατόπισθε νεὸς κυανοπρῴροιο
Od.11.7 ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Od.11.8 Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.
Od.11.9 ἡμεῖς δ´ ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
Od.11.10 ἥμεθα· τὴν δ´ ἄνεμός τε κυβερνήτης τ´ ἴ̱θυ̱νε.
Od.11.11 τῆς δὲ πανημερίης τέταθ´ ἱστία ποντοπορούσης.
Od.11.12 δύ̱σετό τ´ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί·
Od.11.13 ἡ δ´ ἐς πείραθ´ ἵκα̱νε βαθυρρόου Ὠκεανοῖο.
Od.11.14 ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,
Od.11.15 ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ´ αὐτοὺς
Od.11.16 Ἠέλιος φαέθων καταδέρκεται ἀκτί̱νεσσιν,
Od.11.17 οὔθ´ ὁπότ´ ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,
Od.11.18 οὔθ´ ὅτ´ ἂν ἂψ ἐπὶ γαῖαν ἀπ´ οὐρανόθεν προτράπηται,
Od.11.19 ἀλλ´ ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι.
Od.11.20 νῆα μὲν ἔνθ´ ἐλθόντες ἐκέλσαμεν, ἐκ δὲ τὰ μῆλα
Od.11.21 εἱλόμεθ´· αὐτοὶ δ´ αὖτε παρὰ ῥόον Ὠκεανοῖο
Od.11.22 ᾔομεν, ὄφρ´ ἐς χῶρον ἀφι̱κόμεθ´, ὃν φράσε Κίρκη.
Od.11.23 ἔνθ´ ἱερήϊα μὲν Περιμήδης Εὐρύλοχός τε
Od.11.24 ἔσχον· ἐγὼ δ´ ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Od.11.25 βόθρον ὄρυξ´ ὅσσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,
Od.11.26 ἀμφ´ αὐτῷ δὲ χοὴν χεόμην πᾶσιν νεκύεσσι,
Od.11.27 πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
Od.11.28 τὸ τρίτον αὖθ´ ὕδατι̱· ἐπὶ δ´ ἄλφιτα λευκὰ πάλυ̱νον.

Od.11.29 πολλὰ δὲ γουνούμην νεκύων ἀμενηνὰ κάρηνα,

Od.11.30 ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη,

Od.11.31 ῥέξειν ἐν μεγάροισι πυρήν τ᾽ ἐμπλησέμεν ἐσθλῶν,

Od.11.32 Τειρεσίῃ δ᾽ ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴῳ

Od.11.33 παμμέλαν᾽, ὃς μήλοισι μεταπρέπει ἡμετέροισι.

Od.11.34 τοὺς δ᾽ ἐπεὶ εὐχωλῇσι λιτῇσί τε, ἔθνεα νεκρῶν,

Od.11.35 ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα

Od.11.36 ἐς βόθρον, ῥέε δ᾽ αἷμα κελαινεφές· αἱ δ᾽ ἀγέροντο

Od.11.37 ψυ̱χαὶ ὑπὲξ Ἐρέβευς νεκύων κατατεθνηώτων·

Od.11.38 νύμφαί τ᾽ ἠΐθεοί τε πολύτλητοί τε γέροντες

Od.11.39 παρθενικαί τ᾽ ἀταλαὶ νεοπενθέα θυ̱μὸν ἔχουσαι,

Od.11.40 πολλοὶ δ᾽ οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσιν,

Od.11.41 ἄνδρες ἀρηΐφατοι, βεβροτωμένα τεύχε᾽ ἔχοντες·

Od.11.42 οἳ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος

Od.11.43 θεσπεσίῃ ἰαχῇ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει.

Od.11.44 δὴ τότ᾽ ἔπειθ᾽ ἑτάροισιν ἐποτρύ̱να̱ς ἐκέλευσα

Od.11.45 μῆλα, τὰ δὴ κατέκειτ᾽ ἐσφαγμένα νηλέϊ χαλκῷ,

Od.11.46 δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσιν,

Od.11.47 ἰφθί̱μῳ τ᾽ Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ·

Od.11.48 αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ

Od.11.49 ἥμην οὐδ᾽ εἴων νεκύων ἀμενηνὰ κάρηνα

Od.11.50 αἵματος ἆσσον ἴμεν πρὶν Τειρεσία̱ο πυθέσθαι.

Od.11.51 πρώτη δὲ ψυ̱χὴ Ἐλπήνορος ἦλθεν ἑταίρου·

Od.11.52 οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης·

Od.11.53 σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς

Od.11.54 ἄκλαυτον καὶ ἄθαπτον, ἐπεὶ πόνος ἄλλος ἔπειγε.

Od.11.55 τὸν μὲν ἐγὼ δάκρυ̱σα ἰδὼν ἐλέησά τε θυ̱μῷ

Od.11.56 καί μιν φωνήσα̱ς ἔπεα πτερόεντα προσηύδων·

Od.11.57 ‘Ἐλπῆνορ, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα;
Od.11.58 ἔφθης πεζὸς ἰὼν ἢ ἐγὼ σὺν νηῒ μελαίνῃ.’
Od.11.59 ὣς ἐφάμην, ὁ δέ μ᾽ οἰμώξα̱ς ἠμείβετο μύ̱θῳ·
Od.11.60 [‘δι̮ογενὲς Λα̱ερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,]
Od.11.61 ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος·
Od.11.62 Κίρκης δ᾽ ἐν μεγάρῳ καταλέγμενος οὐκ ἐνόησα
Od.11.63 ἄψορρον καταβῆναι ἰὼν ἐς κλί̱μακα μακρήν,
Od.11.64 ἀλλὰ καταντικρὺ̮ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
Od.11.65 ἀστραγάλων ἐάγη, ψυ̱χὴ δ᾽ Ἄϊδόσδε κατῆλθε.
Od.11.66 νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
Od.11.67 πρός τ᾽ ἀλόχου καὶ πατρός, ὅ σ᾽ ἔτρεφε τυτθὸν ἐόντα,
Od.11.68 Τηλεμάχου θ᾽, ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
Od.11.69 οἶδα γὰρ ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀΐδα̱ο
Od.11.70 νῆσον ἐς Αἰαίην σχήσεις εὐεργέα νῆα·
Od.11.71 ἔνθά σ᾽ ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο.
Od.11.72 μή μ᾽ ἄκλαυτον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν
Od.11.73 νοσφισθείς, μή τοί τι θεῶν μήνι̱μα γένωμαι,
Od.11.74 ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοί ἐστι,
Od.11.75 σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θι̱νὶ θαλάσσης,
Od.11.76 ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι·
Od.11.77 ταῦτά τέ μοι τελέσαι πῆξαί τ᾽ ἐπὶ τύμβῳ ἐρετμόν,
Od.11.78 τῷ καὶ ζωὸς ἔρεσσον ἐὼν μετ᾽ ἐμοῖσ᾽ ἑτάροισιν.’
Od.11.79 ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Od.11.80 ‘ταῦτά τοι, ὦ δύστηνε, τελευτήσω τε καὶ ἔρξω.’
Od.11.81 νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν
Od.11.82 ἥμεθ᾽, ἐγὼ μὲν ἄνευθεν ἐφ᾽ αἵματι φάσγανον ἴσχων,
Od.11.83 εἴδωλον δ᾽ ἑτέρωθεν ἑταίρου πόλλ᾽ ἀγόρευεν.
Od.11.84 ἦλθε δ᾽ ἐπὶ ψυ̱χὴ μητρὸς κατατεθνη̯υίης,

Od.11.85 Αὐτολύκου θυγάτηρ μεγαλήτορος Ἀντίκλεια,
Od.11.86 τὴν ζωὴν κατέλειπον ἰὼν εἰς Ἴ̱λιον ἰ̱ρήν.
Od.11.87 τὴν μὲν ἐγὼ δάκρυ̱σα ἰδὼν ἐλέησά τε θυ̱μῷ·
Od.11.88 ἀλλ᾽ οὐδ᾽ ὧς εἴων προτέρην, πυκινόν περ ἀχεύων,
Od.11.89 αἵματος ἆσσον ἴμεν πρὶν Τειρεσία̱ο πυθέσθαι.
Od.11.90 ἦλθε δ᾽ ἐπὶ ψυ̱χὴ Θηβαίου Τειρεσία̱ο,
Od.11.91 χρύ̱σε̮ο̮ν σκῆπτρον ἔχων, ἐμὲ δ᾽ ἔγνω καὶ προσέειπε·
Od.11.92 [‘δι̱ογενὲς Λα̱ερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,]
Od.11.93 τίπτ᾽ αὖτ᾽, ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο
Od.11.94 ἤλυθες, ὄφρα ἴδῃ νέκυας καὶ ἀτερπέα χῶρον;
Od.11.95 ἀλλ᾽ ἀποχάζεο βόθρου, ἄπισχε δὲ φάσγανον ὀξύ,
Od.11.96 αἵματος ὄφρα πίω καί τοι νημερτέα εἴπω.’
Od.11.97 ὣς φάτ᾽, ἐγὼ δ᾽ ἀναχασσάμενος ξίφος ἀργυρόηλον
Od.11.98 κουλεῷ ἐγκατέπηξ᾽. ὁ δ᾽ ἐπεὶ πίεν αἷμα κελαινόν,
Od.11.99 καὶ τότε δή μ᾽ ἐπέεσσι προσηύδα̱ μάντις ἀμύ̱μων·
Od.11.100 ‘νόστον δίζηαι μελιηδέα, φαίδιμ᾽ Ὀδυσσεῦ·
Od.11.101 τὸν δέ τοι ἀργαλέον θήσει θεός. οὐ γὰρ ὀΐ̱ω
Od.11.102 λήσειν ἐννοσίγαιον, ὅ τοι κότον ἔνθετο θυ̱μῷ,
Od.11.103 χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
Od.11.104 ἀλλ᾽ ἔτι μέν κε καὶ ὧς, κακά περ πάσχοντες, ἵκοισθε,
Od.11.105 αἴ κ᾽ ἐθέλῃς σὸν θυ̱μὸν ἐρυ̱κακέειν καὶ ἑταίρων,
Od.11.106 ὁππότε κεν πρῶτον πελάσῃς εὐεργέα νῆα
Od.11.107 Θρι̱νακίῃ νήσῳ, προφυγὼν ἰοειδέα πόντον,
Od.11.108 βοσκομένας δ᾽ εὕρητε βόας καὶ ἴ̱φια μῆλα
Od.11.109 Ἠελίου, ὃς πάντ᾽ ἐφορᾷ καὶ πάντ᾽ ἐπακούει.
Od.11.110 τὰ̱ς εἰ μέν κ᾽ ἀσινέ̮α̮ς ἐάᾳς νόστου τε μέδηαι,
Od.11.111 καί κεν ἔτ᾽ εἰς Ἰθάκην, κακά περ πάσχοντες, ἵκοισθε·
Od.11.112 εἰ δέ κε σί̱νηαι, τότε τοι τεκμαίρομ᾽ ὄλεθρον

Od.11.113 νηΐ τε καὶ ἑτάροισ᾽. αὐτὸς δ᾽ εἴ πέρ κεν ἀλύξῃς,
Od.11.114 ὀψὲ κακῶς νεῖαι, ὀλέσα̲ς ἄπο πάντας ἑταίρους,
Od.11.115 νηὸς ἐπ᾽ ἀλλοτρίης· δήεις δ᾽ ἐν πήματα οἴκῳ,
Od.11.116 ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσι
Od.11.117 μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες.
Od.11.118 ἀλλ᾽ ἦ τοι κείνων γε βία̲ς ἀποτείσεαι ἐλθών·
Od.11.119 αὐτὰρ ἐπὴν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
Od.11.120 κτείνῃς ἠὲ δόλῳ ἢ ἀμφαδὸν ὀξέϊ χαλκῷ,
Od.11.121 ἔρχεσθαι δὴ ἔπειτα, λαβὼν εὐῆρες ἐρετμόν,
Od.11.122 εἰς ὅ κε τοὺς ἀφίκηαι, οἳ οὐκ ἴ̯σα̲σι θάλασσαν
Od.11.123 ἀ̲νέρες οὐδέ θ᾽ ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
Od.11.124 οὐδ᾽ ἄρα τοὶ ἴ̯σα̲σι νέας φοινι̯κοπαρῄους,
Od.11.125 οὐδ᾽ εὐήρε᾽ ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
Od.11.126 σῆμα δέ τοι ἐρέω μάλ᾽ ἀριφραδές, οὐδέ σε λήσει·
Od.11.127 ὁππότε κεν δή τοι ξυμβλήμενος ἄλλος ὁδί̲της
Od.11.128 φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
Od.11.129 καὶ τότε δὴ γαίῃ πήξα̲ς εὐῆρες ἐρετμόν,
Od.11.130 ἕρξα̲ς ἱ̯ερὰ κα̲λὰ Ποσειδά̲ωνι ἄνακτι,
Od.11.131 ἀρνειὸν ταῦρόν τε συῶν τ᾽ ἐπιβήτορα κάπρον,
Od.11.132 οἴκαδ᾽ ἀποστείχειν ἕρδειν θ᾽ ἱερὰ̲ς ἑκατόμβας
Od.11.133 ἀ̲θανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
Od.11.134 πᾶσι μάλ᾽ ἑξείης. θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ
Od.11.135 ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνῃ
Od.11.136 γήρᾳ ὕπο λιπαρῷ ἀ̲ρημένον· ἀμφὶ δὲ λα̲οὶ
Od.11.137 ὄλβιοι ἔσσονται. τὰ δέ τοι νημερτέα εἴρω.’
Od.11.138 ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Od.11.139 ‘Τειρεσίη, τὰ μὲν ἄρ που ἐπέκλωσαν θεοὶ αὐτοί.
Od.11.140 ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·

Od.11.141 μητρὸς τήνδ᾽ ὁρόω ψυχὴν κατατεθνηυίης·
Od.11.142 ἡ δ᾽ ἀκέουσ᾽ ἧσται σχεδὸν αἵματος οὐδ᾽ ἑὸν υἱὸν
Od.11.143 ἔτλη ἐσάντα ἰδεῖν οὐδὲ προτιμυθήσασθαι·
Od.11.144 εἰπέ, ἄναξ, πῶς κέν με ἀναγνοίη τὸν ἐόντα;᾽
Od.11.145 ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπε·
Od.11.146 ‘ῥηΐδιόν τοι ἔπος ἐρέω καὶ ἐνὶ φρεσὶ θήσω·
Od.11.147 ὅν τινα μέν κεν ἐᾷς νεκύων κατατεθνηώτων
Od.11.148 αἵματος ἆσσον ἴμεν, ὁ δέ τοι νημερτὲς ἐνίψει·
Od.11.149 ᾧ δέ κ᾽ ἐπιφθονέῃς, ὁ δέ τοι πάλιν εἶσιν ὀπίσσω.᾽
Od.11.150 ὣς φαμένη ψυχὴ μὲν ἔβη δόμον Ἄϊδος εἴσω
Od.11.151 Τειρεσίαο ἄνακτος, ἐπεὶ κατὰ θέσφατ᾽ ἔλεξεν·
Od.11.152 αὐτὰρ ἐγὼν αὐτοῦ μένον ἔμπεδον, ὄφρ᾽ ἐπὶ μήτηρ
Od.11.153 ἤλυθε καὶ πίεν αἷμα κελαινεφές· αὐτίκα δ᾽ ἔγνω
Od.11.154 καί μ᾽ ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
Od.11.155 ‘τέκνον ἐμόν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα
Od.11.156 ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι.
Od.11.157 μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,
Od.11.158 Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ πως ἔστι περῆσαι
Od.11.159 πεζὸν ἐόντ᾽, ἢν μή τις ἔχῃ εὐεργέα νῆα.
Od.11.160 ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ᾽ ἱκάνεις
Od.11.161 νηΐ τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω ἦλθες
Od.11.162 εἰς Ἰθάκην οὐδ᾽ εἶδες ἐνὶ μεγάροισι γυναῖκα;᾽
Od.11.163 ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Od.11.164 ‘μῆτερ ἐμή, χρειώ με κατήγαγεν εἰς Ἀΐδαο
Od.11.165 ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο·
Od.11.166 οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος οὐδέ πω ἁμῆς
Od.11.167 γῆς ἐπέβην, ἀλλ᾽ αἰὲν ἔχων ἀλάλημαι ὀϊζύν,
Od.11.168 ἐξ οὗ τὰ πρώτισθ᾽ ἑπόμην Ἀγαμέμνονι δίῳ

Od.11.169 Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μαχοίμην.
Od.11.170 ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
Od.11.171 τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
Od.11.172 ἢ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα
Od.11.173 οἷσ᾽ ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν;
Od.11.174 εἰπὲ δέ μοι πατρός τε καὶ υἱέος, ὃν κατέλειπον,
Od.11.175 ἢ ἔτι πὰρ κείνοισιν ἐμὸν γέρας, ἦέ τις ἤδη
Od.11.176 ἀνδρῶν ἄλλος ἔχει, ἐμὲ δ᾽ οὐκέτι φασὶ νέεσθαι.
Od.11.177 εἰπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν τε νόον τε,
Od.11.178 ἠὲ μένει παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσει,
Od.11.179 ἦ ἤδη μιν ἔγημεν Ἀχαιῶν ὅς τις ἄριστος.’
Od.11.180 ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο πότνια μήτηρ·
Od.11.181 ‘καὶ λίην κείνη γε μένει τετληότι θυμῷ
Od.11.182 σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
Od.11.183 φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ.
Od.11.184 σὸν δ᾽ οὔ πώ τις ἔχει καλὸν γέρας, ἀλλὰ ἕκηλος
Od.11.185 Τηλέμαχος τεμένεα νέμεται καὶ δαῖτας ἐΐσας
Od.11.186 δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ᾽ ἀλεγύνειν·
Od.11.187 πάντες γὰρ καλέουσι. πατὴρ δὲ σὸς αὐτόθι μίμνει
Od.11.188 ἀγρῷ οὐδὲ πόλινδε κατέρχεται· οὐδέ οἱ εὐναὶ
Od.11.189 δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα,
Od.11.190 ἀλλ᾽ ὅ γε χεῖμα μὲν εὕδει ὅθι δμῶες ἐνὶ οἴκῳ,
Od.11.191 ἐν κόνι ἄγχι πυρός, κακὰ δὲ χροῒ εἵματα εἷται·
Od.11.192 αὐτὰρ ἐπὴν ἔλθῃσι θέρος τεθαλυῖά τ᾽ ὀπώρη,
Od.11.193 πάντῃ οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο
Od.11.194 φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί.
Od.11.195 ἔνθ᾽ ὅ γε κεῖτ᾽ ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει
Od.11.196 σὸν νόστον ποθέων· χαλεπὸν δ᾽ ἐπὶ γῆρας ἱκάνει.

Od.11.197 οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·

Od.11.198 οὔτ΄ ἐμέ γ΄ ἐν μεγάροισιν ἐΰσκοπος ἰ̱οχέαιρα

Od.11.199 οἷσ΄ ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν,

Od.11.200 οὔτε τις οὖν μοι νοῦσος ἐπήλυθεν, ἥ τε μάλιστα

Od.11.201 τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυ̱μόν·

Od.11.202 ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ΄ Ὀδυσσεῦ,

Od.11.203 σή τ΄ ἀγανοφροσύνη μελιηδέα θυ̱μὸν ἀπηύρα̱.’

Od.11.204 ὣς ἔφατ΄, αὐτὰρ ἐγώ γ΄ ἔθελον φρεσὶ μερμηρίξας

Od.11.205 μητρὸς ἐμῆς ψυ̱χὴν ἑλέειν κατατεθνῃυίης.

Od.11.206 τρὶς μὲν ἐφωρμήθην, ἑλέειν τέ με θυ̱μὸς ἀνώγει,

Od.11.207 τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον ἢ καὶ ὀνείρῳ

Od.11.208 ἔπτατ΄· ἐμοὶ δ΄ ἄχος ὀξὺ γενέσκετο κηρόθι μᾶλλον,

Od.11.209 καί μιν φωνήσα̱ς ἔπεα πτερόεντα προσηύδων·

Od.11.210 ‘μῆτερ ἐμή, τί νύ μ΄ οὐ μίμνεις ἑλέειν μεμαῶτα,

Od.11.211 ὄφρα καὶ εἰ̯ν Ἀΐδα̱ο φίλα̱ς περὶ χεῖρε βαλόντε

Od.11.212 ἀμφοτέρω κρυεροῖο τεταρπώμεσθα γόοιο;

Od.11.213 ἦ τί μοι εἴδωλον τόδ΄ ἀγαυὴ Περσεφόνεια

Od.11.214 ὤτρυ̱ν΄, ὄφρ΄ ἔτι μᾶλλον ὀδυ̱ρόμενος στεναχίζω;’

Od.11.215 ὣς ἐφάμην, ἡ δ΄ αὐτίκ΄ ἀμείβετο πότνια μήτηρ·

Od.11.216 ‘ὤ μοι, τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν,

Od.11.217 οὔ τί σε Περσεφόνεια Διὸς θυγάτηρ ἀπαφίσκει,

Od.11.218 ἀλλ΄ αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε τίς κε θάνῃσιν.

Od.11.219 οὐ γὰρ ἔτι σάρκάς τε καὶ ὀστέα ἶνες ἔχουσιν,

Od.11.220 ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο

Od.11.221 δαμνᾷ, ἐπεί κε πρῶτα λίπῃ λεύκ΄ ὀστέα θυ̱μός,

Od.11.222 ψυ̱χὴ δ΄ ἠΰτ΄ ὄνειρος ἀποπταμένη πεπότηται.

Od.11.223 ἀλλὰ φόωσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα

Od.11.224 ἴσθ΄, ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα γυναικί.’

Od.11.225 νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβόμεθ᾽, αἱ δὲ γυναῖκες
Od.11.226 ἤλυθον, ὤτρυνεν γὰρ ἀγαυὴ Περσεφόνεια,
Od.11.227 ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες.
Od.11.228 αἱ δ᾽ ἀμφ᾽ αἷμα κελαινὸν ἀολλέες ἠγερέθοντο,
Od.11.229 αὐτὰρ ἐγὼ βούλευον, ὅπως ἐρέοιμι ἑκάστην.
Od.11.230 ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
Od.11.231 σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ
Od.11.232 οὐκ εἴων πίνειν ἅμα πάσας αἷμα κελαινόν.
Od.11.233 αἱ δὲ προμνηστῖναι ἐπήϊσαν, ἠδὲ ἑκάστη
Od.11.234 ὃν γόνον ἐξαγόρευεν· ἐγὼ δ᾽ ἐρέεινον ἁπάσας.
Od.11.235 ἔνθ᾽ ἦ τοι πρώτην Τυρὼ ἴδον εὐπατέρειαν,
Od.11.236 ἣ φάτο Σαλμωνῆος ἀμύμονος ἔκγονος εἶναι,
Od.11.237 φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι Αἰολίδαο·
Od.11.238 ἣ ποταμοῦ ἠράσσατ᾽ Ἐνιπῆος θείοιο,
Od.11.239 ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ γαῖαν ἵησι,
Od.11.240 καί ῥ᾽ ἐπ᾽ Ἐνιπῆος πωλέσκετο καλὰ ῥέεθρα.
Od.11.241 τῷ δ᾽ ἄρα εἰσάμενος γαιήοχος ἐννοσίγαιος
Od.11.242 ἐν προχοῇς ποταμοῦ παρελέξατο δινήεντος·
Od.11.243 πορφύρεον δ᾽ ἄρα κῦμα περιστάθη οὔρεϊ ἶσον,
Od.11.244 κυρτωθέν, κρύψεν δὲ θεὸν θνητήν τε γυναῖκα.
Od.11.245 [λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ᾽ ὕπνον ἔχευεν.]
Od.11.246 αὐτὰρ ἐπεί ῥ᾽ ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα,
Od.11.247 ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
Od.11.248 ‘χαῖρε, γύναι, φιλότητι· περιπλομένου δ᾽ ἐνιαυτοῦ
Od.11.249 τέξεαι ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
Od.11.250 ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
Od.11.251 νῦν δ᾽ ἔρχευ πρὸς δῶμα καὶ ἴσχεο μηδ᾽ ὀνομήνῃς·
Od.11.252 αὐτὰρ ἐγώ τοί εἰμι Ποσειδάων ἐνοσίχθων.’

Od.11.253 ὣς εἰπὼν ὑπὸ πόντον ἐδύ̱σετο κυ̱μαίνοντα.
Od.11.254 ἡ δ᾽ ὑποκυ̱σαμένη Πελίην τέκε καὶ Νηλῆα,
Od.11.255 τὼ κρατερὼ θεράποντε Διὸς μεγάλοιο γενέσθην
Od.11.256 ἀμφοτέρω· Πελίης μὲν ἐν εὐρυχόρῳ Ἰαωλκῷ
Od.11.257 ναῖε πολύρρηνος, ὁ δ᾽ ἄρ᾽ ἐν Πύλῳ ἠμαθόεντι.
Od.11.258 τοὺς δ᾽ ἑτέρους Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν,
Od.11.259 Αἴσονά τ᾽ ἠδὲ Φέρητ᾽ Ἀμυθά̱ονά θ᾽ ἱππιοχάρμην.
Od.11.260 τὴν δὲ μέτ᾽ Ἀντιόπην ἴδον, Ἀ̱σωποῖο θύγατρα,
Od.11.261 ἣ δὴ καὶ Διὸς εὔχετ᾽ ἐν ἀγκοίνῃσιν ἰαῦσαι,
Od.11.262 καί ῥ᾽ ἔτεκεν δύο παῖδ᾽, Ἀμφί̱ονά τε Ζῆθόν τε,
Od.11.263 οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο
Od.11.264 πύργωσάν τ᾽, ἐπεὶ οὐ μὲν ἀπύργωτόν γ᾽ ἐδύναντο
Od.11.265 ναιέμεν εὐρύχορον Θήβην, κρατερώ περ ἐόντε.
Od.11.266 τὴν δὲ μετ᾽ Ἀλκμήνην ἴδον, Ἀμφιτρύωνος ἄκοιτιν,
Od.11.267 ἥ ῥ᾽ Ἡρακλῆα θρασυμέμνονα θυ̱μολέοντα
Od.11.268 γείνατ᾽ ἐν ἀγκοίνῃσι Διὸς μεγάλοιο μιγεῖσα·
Od.11.269 καὶ Μεγάρην, Κρείοντος ὑπερθύ̱μοιο θύγατρα,
Od.11.270 τὴν ἔχεν Ἀμφιτρύωνος υἱὸς μένος αἰὲν ἀτειρής.
Od.11.271 μητέρα τ᾽ Οἰδιπόδα̱ο ἴδον, κα̱λὴν Ἐπικάστην,
Od.11.272 ἣ μέγα ἔργον ἔρεξεν ἀϊδρείῃσι νόοιο
Od.11.273 γημαμένη ᾧ υἷϊ· ὁ δ᾽ ὃν πατέρ᾽ ἐξεναρίξας
Od.11.274 γῆμεν· ἄφαρ δ᾽ ἀνάπυστα θεοὶ θέσαν ἀνθρώποισιν.
Od.11.275 ἀλλ᾽ ὁ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα πάσχων
Od.11.276 Καδμείων ἤνασσε θεῶν ὀλοὰς διὰ βουλά̱ς·
Od.11.277 ἡ δ᾽ ἔβη εἰς Ἀΐδα̱ο πυλάρτα̱ο κρατεροῖο,
Od.11.278 ἁψαμένη βρόχον αἰπὺν ἀφ᾽ ὑψηλοῖο μελάθρου
Od.11.279 ᾧ ἄχεϊ σχομένη· τῷ δ᾽ ἄλγεα κάλλιπ᾽ ὀπίσσω
Od.11.280 πολλὰ μάλ᾽, ὅσσα τε μητρὸς ἐρι̱νύες ἐκτελέουσι.

Od.11.281 καὶ Χλῶριν εἶδον περικαλλέα, τήν ποτε Νηλεὺς
Od.11.282 γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ πόρε μυ̲ρία ἕδνα,
Od.11.283 ὁπλοτάτην κούρην Ἀμφί̲ονος Ἰ̲ασίδα̲ο,
Od.11.284 ὅς ποτ᾽ ἐν Ὀρχομενῷ Μινυηΐῳ ἶφι ἄνασσεν·
Od.11.285 ἡ δὲ Πύλου βασίλευε, τέκεν δέ οἱ ἀγλαὰ τέκνα,
Od.11.286 Νέστορά τε Χρομίον τε Περικλύμενόν τ᾽ ἀγέρωχον.
Od.11.287 τοῖσι δ᾽ ἐπ᾽ ἰφθί̲μην Πηρὼ τέκε, θαῦμα βροτοῖσι,
Od.11.288 τὴν πάντες μνώοντο περικτίται· οὐδέ τι Νηλεὺς
Od.11.289 τῷ ἐδίδου, ὃς μὴ ἕλικας βόας εὐρυμετώπους
Od.11.290 ἐκ Φυλάκης ἐλάσειε βίης Ἰ̲φικληείης
Od.11.291 ἀργαλέα̲ς. τὰ̲ς δ᾽ οἶος ὑπέσχετο μάντις ἀμύ̲μων
Od.11.292 ἐξελάαν· χαλεπὴ δὲ θεοῦ κατὰ μοῖρα πέδησε
Od.11.293 δεσμοί τ᾽ ἀργαλέοι καὶ βουκόλοι ἀγροιῶται.
Od.11.294 ἀλλ᾽ ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο
Od.11.295 ἂψ περιτελλομένου ἔτεος καὶ ἐπήλυθον ὧραι,
Od.11.296 καὶ τότε δή μιν ἔλυ̲σε βίη Ἰ̲φικληείη
Od.11.297 θέσφατα πάντ᾽ εἰπόντα· Διὸς δ᾽ ἐτελείετο βουλή.
Od.11.298 καὶ Λήδην εἶδον, τὴν Τυνδαρέου παράκοιτιν,
Od.11.299 ἥ ῥ᾽ ὑπὸ Τυνδαρέῳ κρατερόφρονε γείνατο παῖδε,
Od.11.300 Κάστορά θ᾽ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκε̲α̲,
Od.11.301 τοὺς ἄμφω ζωοὺς κατέχει φυ̲σίζοος αἶα·
Od.11.302 οἳ καὶ νέρθεν γῆς τι̲μὴν πρὸς Ζηνὸς ἔχοντες
Od.11.303 ἄλλοτε μὲν ζώουσ᾽ ἑτερήμεροι, ἄλλοτε δ᾽ αὖτε
Od.11.304 τεθνᾶσιν· τι̲μὴν δὲ λελόγχασιν ἶσα θεοῖσι.
Od.11.305 τὴν δὲ μέτ᾽ Ἰ̲φιμέδειαν, Ἀλωῆος παράκοιτιν,
Od.11.306 εἴσιδον, ἣ δὴ φάσκε Ποσειδά̲ωνι μιγῆναι,
Od.11.307 καί ῥ᾽ ἔτεκεν δύο παῖδε, μινυνθαδίω δὲ γενέσθην,
Od.11.308 Ὦτόν τ᾽ ἀντίθεον τηλεκλειτόν τ᾽ Ἐφιάλτην,

Od.11.309 οὓς δὴ μηκίστους θρέψε ζείδωρος ἄρουρα
Od.11.310 καὶ πολὺ καλλίστους μετά γε κλυτὸν Ὠρί̱ωνα·
Od.11.311 ἐννέ̱ωροι γὰρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν
Od.11.312 εὖρος, ἀτὰρ μῆκός γε γενέσθην ἐννεό̱ργυιοι.
Od.11.313 οἵ ῥα καὶ ἀ̱θανάτοισιν ἀπειλήτην ἐν Ὀλύμπῳ
Od.11.314 φυ̱λόπιδα στήσειν πολυᾱ̈́ικος πολέμοιο.
Od.11.315 Ὄσσαν ἐπ᾽ Οὐ̱λύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ᾽ Ὄσσῃ
Od.11.316 Πήλιον εἰνοσίφυλλον, ἵν᾽ οὐρανὸς ἀμβατὸς εἴη.
Od.11.317 καί νύ κεν ἐξετέλεσσαν, εἰ ἥβης μέτρον ἵκοντο·
Od.11.318 ἀλλ᾽ ὄλεσεν Διὸς υἱός, ὃν ἠύκομος τέκε Λητώ,
Od.11.319 ἀμφοτέρω, πρίν σφωῒν ὑπὸ κροτάφοισιν ἰούλους
Od.11.320 ἀνθῆσαι πυκάσαι τε γένυς εὐανθέϊ λάχνῃ.
Od.11.321 Φαίδρην τε Πρόκριν τε ἴδον κα̱λήν τ᾽ Ἀριάδνην,
Od.11.322 κούρην Μί̱νωος ὀλοόφρονος, ἥν ποτε Θησεὺς
Od.11.323 ἐκ Κρήτης ἐς γουνὸν Ἀθηνά̱ων ἱερά̱ων
Od.11.324 ἦγε μέν, οὐδ᾽ ἀπόνητο· πάρος δέ μιν Ἄρτεμις ἔκτα
Od.11.325 Δί̱ῃ ἐν ἀμφιρύτῃ Διονύ̱σου μαρτυρίῃσι.
Od.11.326 Μαῖράν τε κλυμένην τε ἴδον στυγερήν τ᾽ Ἐριφύ̱λην,
Od.11.327 ἣ χρυ̱σὸν φίλου ἀνδρὸς ἐδέξατο τι̱μήεντα.
Od.11.328 πά̱σα̱ς δ᾽ οὐκ ἂν ἐγὼ μυ̱θήσομαι οὐδ᾽ ὀνομήνω,
Od.11.329 ὅσσα̱ς ἡρώων ἀλόχους ἴδον ἠδὲ θύγατρας·
Od.11.330 πρὶν γάρ κεν καὶ νὺξ φθῖτ᾽ ἄμβροτος. ἀλλὰ καὶ ὥρη
Od.11.331 εὕδειν, ἢ ἐπὶ νῆα θοὴν ἐλθόντ᾽ ἐς ἑταίρους
Od.11.332 ἢ αὐτοῦ· πομπὴ δὲ θεοῖσ᾽ ὑ̱μῖν τε μελήσει."
Od.11.333 ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Od.11.334 κηληθμῷ δ᾽ ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
Od.11.335 τοῖσιν δ᾽ Ἀ̱ρήτη λευκώλενος ἤρχετο μύ̱θων·
Od.11.336 "Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅδε φαίνεται εἶναι

Od.11.337 εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐ̱σα̱ς;
Od.11.338 ξεῖνος δ᾽ αὖτ᾽ ἐμός ἐστιν, ἕκαστος δ᾽ ἔμμορε τι̱μῆς.
Od.11.339 τῶ μὴ ἐπειγόμενοι ἀποπέμπετε μηδὲ τὰ δῶρα
Od.11.340 οὕτω χρηΐζοντι κολούετε· πολλὰ γὰρ ὑ̱μῖν
Od.11.341 κτήματ᾽ ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται."
Od.11.342 τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἐχένηος,
Od.11.343 [ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν·]
Od.11.344 "ὦ φίλοι, οὐ μὰ̱ν ἧμιν ἀπὸ σκοποῦ οὐδ᾽ ἀπὸ δόξης
Od.11.345 μυ̱θεῖται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε.
Od.11.346 Ἀλκινόου δ᾽ ἐκ τοῦδ᾽ ἔχεται ἔργόν τε ἔπος τε."
Od.11.347 τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
Od.11.348 "τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος, αἴ κεν ἐγώ γε
Od.11.349 ζωὸς Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω·
Od.11.350 ξεῖνος δὲ τλήτω, μάλα περ νόστοιο χατίζων,
Od.11.351 ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον, εἰς ὅ κε πᾶσαν
Od.11.352 δωτί̱νην τελέσω. πομπὴ δ᾽ ἄνδρεσσι μελήσει
Od.11.353 πᾶσι, μάλιστα δ᾽ ἐμοί· τοῦ γὰρ κράτος ἔστ᾽ ἐνὶ δήμῳ."
Od.11.354 τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.11.355 "Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λα̱ῶν,
Od.11.356 εἴ με καὶ εἰς ἐνιαυτὸν ἀνώγοιτ᾽ αὐτόθι μίμνειν
Od.11.357 πομπήν τ᾽ ὀτρύ̱νοιτε καὶ ἀγλαὰ δῶρα διδοῖτε,
Od.11.358 καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
Od.11.359 πλειοτέρῃ σὺν χειρὶ φίλην ἐς πατρίδ᾽ ἱκέσθαι,
Od.11.360 καί κ᾽ αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴην
Od.11.361 πᾶσιν, ὅσοι μ᾽ Ἰθάκηνδε ἰδοίατο νοστήσαντα."
Od.11.362 τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
Od.11.363 "ὦ Ὀδυσεῦ, τὸ μὲν οὔ τί σ᾽ ἐΐ̱σκομεν εἰσορόωντες
Od.11.364 ἠπεροπῆά τ᾽ ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς

Od.11.365 βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους
Od.11.366 ψεύδεά τ᾽ ἀρτῠ̱́νοντας, ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
Od.11.367 σοὶ δ᾽ ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί,
Od.11.368 μῦθον δ᾽ ὡς ὅτ᾽ ἀοιδὸς ἐπισταμένως κατέλεξας,
Od.11.369 πάντων Ἀργείων σέο τ᾽ αὐτοῦ κήδεα λυγρά.
Od.11.370 ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Od.11.371 εἴ τινας ἀντιθέων ἑτάρων ἴδες, οἵ τοι ἅμ᾽ αὐτῷ
Od.11.372 Ἴ̱λιον εἰς ἅμ᾽ ἕποντο καὶ αὐτοῦ πότμον ἐπέσπον.
Od.11.373 νὺξ δ᾽ ἥδε μάλα μακρή, ἀθέσφατος, οὐδέ πω ὥρη
Od.11.374 εὕδειν ἐν μεγάρῳ· σὺ δέ μοι λέγε θέσκελα ἔργα.
Od.11.375 καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ
Od.11.376 τλαίης ἐν μεγάρῳ τὰ σὰ κήδεα μυ̱θήσασθαι."
Od.11.377 τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.11.378 "Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λα̱ῶν,
Od.11.379 ὥρη μὲν πολέων μῦ̱θων, ὥρη δὲ καὶ ὕπνου·
Od.11.380 εἰ δ᾽ ἔτ᾽ ἀκουέμεναί γε λιλαίεαι, οὐκ ἂν ἔπειτα
Od.11.381 τούτων σοι φθονέοιμι καὶ οἰκτρότερ᾽ ἄλλ᾽ ἀγορεύειν,
Od.11.382 κήδε᾽ ἐμῶν ἑτάρων, οἳ δὴ μετόπισθεν ὄλοντο,
Od.11.383 οἳ Τρώων μὲν ὑπεξέφυγον στονόεσσαν ἀῢ̱τήν,
Od.11.384 ἐν νόστῳ δ᾽ ἀπόλοντο κακῆς ἰότητι γυναικός.
Od.11.385 αὐτὰρ ἐπεὶ ψυ̱χὰ̱ς μὲν ἀπεσκέδασ᾽ ἄλλυδις ἄλλῃ
Od.11.386 ἁγνὴ Περσεφόνεια γυναικῶν θηλυτερά̱ων,
Od.11.387 ἦλθε δ᾽ ἐπὶ ψυ̱χὴ Ἀγαμέμνονος Ἀτρεΐδα̱ο
Od.11.388 ἀχνυμένη· περὶ δ᾽ ἄλλαι ἀγηγέραθ᾽, ὅσσοι ἅμ᾽ αὐτῷ
Od.11.389 οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.
Od.11.390 ἔγνω δ᾽ αἶψ᾽ ἐμὲ κεῖνος, ἐπεὶ ἴδεν ὀφθαλμοῖσι·
Od.11.391 κλαῖε δ᾽ ὅ γε λιγέως, θαλερὸν κατὰ δάκρυον εἴβων,
Od.11.392 πιτνὰ̱ς εἰς ἐμὲ χεῖρας ὀρέξασθαι μενεαίνων·

Od.11.393 ἀλλ᾽ οὐ γάρ οἱ ἔτ᾽ ἦν ἶ̱ς ἔμπεδος οὐδ᾽ ἔτι κῖκυς,
Od.11.394 οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι.
Od.11.395 τὸν μὲν ἐγὼ δάκρυ̱σα ἰδὼν ἐλέησά τε θυ̱μῷ
Od.11.396 καί μιν φωνήσα̱ς ἔπεα πτερόεντα προσηύδων·
Od.11.397 ‘Ἀτρεΐδη κύ̱διστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Od.11.398 τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
Od.11.399 ἠέ σέ γ᾽ ἐν νήεσσι Ποσειδά̱ων ἐδάμασσεν
Od.11.400 ὄρσα̱ς ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀΰ̱τμήν;
Od.11.401 ἦέ σ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου
Od.11.402 βοῦς περιταμνόμενον ἠδ᾽ οἰῶν πώεα κα̱λὰ
Od.11.403 ἠὲ περὶ πτόλιος μαχεούμενον ἠδὲ γυναικῶν;’
Od.11.404 ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπε·
Od.11.405 ‘δι̱ογενὲς Λα̱ερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Od.11.406 οὔτ᾽ ἐμέ γ᾽ ἐν νήεσσι Ποσειδά̱ων ἐδάμασσεν
Od.11.407 [ὄρσα̱ς ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀΰ̱τμήν,]
Od.11.408 οὔτε μ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου,
Od.11.409 ἀλλά μοι Αἴγισθος τεύξα̱ς θάνατόν τε μόρον τε
Od.11.410 ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ οἶκόνδε καλέσσα̱ς,
Od.11.411 δειπνίσσα̱ς, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
Od.11.412 ὣς θάνον οἰκτίστῳ θανάτῳ· περὶ δ᾽ ἄλλοι ἑταῖροι
Od.11.413 νωλεμέως κτείνοντο σύες ὣς ἀργιόδοντες,
Od.11.414 οἵ ῥά τ᾽ ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυ̱ναμένοιο
Od.11.415 ἢ γάμῳ ἢ ἐράνῳ ἢ εἰλαπίνῃ τεθαλυίῃ.
Od.11.416 ἤδη μὲν πολέων φόνῳ ἀνδρῶν ἀντεβόλησας,
Od.11.417 μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῇ ὑσμί̱νῃ·
Od.11.418 ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύ̱ραο θυ̱μῷ,
Od.11.419 ὡς ἀμφὶ κρητῆρα τραπέζα̱ς τε πληθούσα̱ς
Od.11.420 κείμεθ᾽ ἐνὶ μεγάρῳ, δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.

Od.11.421 οἰκτροτάτην δ᾽ ἤκουσα ὄπα Πριάμοιο θυγατρὸς
Od.11.422 Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμνήστρη δολόμητις
Od.11.423 ἀμφ᾽ ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων
Od.11.424 βάλλον ἀποθνῄσκων περὶ φασγάνῳ· ἡ δὲ κυνῶπις
Od.11.425 νοσφίσατ᾽ οὐδέ μοι ἔτλη, ἰόντί περ εἰς Ἀΐδα̱ο,
Od.11.426 χερσὶ κατ᾽ ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ᾽ ἐρεῖσαι.
Od.11.427 ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός,
Od.11.428 [ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·]
Od.11.429 οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές,
Od.11.430 κουριδίῳ τεύξα̱σα πόσει φόνον. ἦ τοι ἔφην γε
Od.11.431 ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσιν
Od.11.432 οἴκαδ᾽ ἐλεύσεσθαι· ἡ δ᾽ ἔξοχα λυγρὰ ἰδυῖα
Od.11.433 οἷ τε κατ᾽ αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω
Od.11.434 θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ᾽ εὐεργὸς ἔῃσιν.’
Od.11.435 ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Od.11.436 ‘ὢ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος εὐρύοπα Ζεὺς
Od.11.437 ἐκπάγλως ἤχθηρε γυναικεία̱ς διὰ βουλὰ̱ς
Od.11.438 ἐξ ἀρχῆς· Ἑλένης μὲν ἀπωλόμεθ᾽ εἵνεκα πολλοί,
Od.11.439 σοὶ δὲ Κλυταιμνήστρη δόλον ἤρτυε τηλόθ᾽ ἐόντι.’
Od.11.440 ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπε·
Od.11.441 ‘τῶ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι
Od.11.442 μηδ᾽ οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ᾽ ἐῢ εἰδῇς,
Od.11.443 ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.
Od.11.444 ἀλλ᾽ οὐ σοί γ᾽, Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός·
Od.11.445 λί̱ην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδε
Od.11.446 κούρη Ἰ̱καρίοιο, περίφρων Πηνελόπεια.
Od.11.447 ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς
Od.11.448 ἐρχόμενοι πόλεμόνδε· πάϊς δέ οἱ ἦν ἐπὶ μαζῷ

Od.11.449 νήπιος, ὅς που νῦν γε μετ᾽ ἀνδρῶν ἵζει ἀριθμῷ,
Od.11.450 ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών,
Od.11.451 καὶ κεῖνος πατέρα προσπτύξεται, ἣ θέμις ἐστίν.
Od.11.452 ἡ δ᾽ ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθῆναι ἄκοιτις
Od.11.453 ὀφθαλμοῖσιν ἔα̱σε· πάρος δέ με πέφνε καὶ αὐτόν.
Od.11.454 [ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Od.11.455 κρύβδην, μηδ᾽ ἀναφανδά, φίλην ἐς πατρίδα γαῖαν
Od.11.456 νῆα κατισχέμεναι, ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.]
Od.11.457 ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Od.11.458 εἴ που ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο
Od.11.459 ἤ που ἐν Ὀρχομενῷ ἢ ἐν Πύλῳ ἠμαθόεντι
Od.11.460 ἤ που πὰρ Μενελά̱ῳ ἐνὶ Σπάρτῃ εὐρείῃ·
Od.11.461 οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.’
Od.11.462 ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Od.11.463 ‘Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τι οἶδα,
Od.11.464 ζώει ὅ γ᾽ ἦ τέθνηκε· κακὸν δ᾽ ἀνεμώλια βάζειν.’
Od.11.465 νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν
Od.11.466 ἕσταμεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες·
Od.11.467 ἦλθε δ᾽ ἐπὶ ψυ̱χὴ Πηληϊάδε̱ω̱ Ἀχιλῆος
Od.11.468 καὶ Πατροκλῆος καὶ ἀμύ̱μονος Ἀντιλόχοιο
Od.11.469 Αἴαντός θ᾽, ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
Od.11.470 τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύ̱μονα Πηλεΐωνα.
Od.11.471 ἔγνω δὲ ψυ̱χή με ποδώκεος Αἰακίδα̱ο
Od.11.472 καί ῥ᾽ ὀλοφυ̱ρομένη ἔπεα πτερόεντα προσηύδα̱·
Od.11.473 ‘δι̱ογενὲς Λα̱ερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Od.11.474 σχέτλιε, τίπτ᾽ ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
Od.11.475 πῶς ἔτλης Ἄϊδόσδε κατελθέμεν, ἔνθά τε νεκροὶ
Od.11.476 ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;’

Od.11.477 ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·

Od.11.478 ‘ὦ Ἀχιλεῦ, Πηλῆ̱ος υἱέ, μέγα φέρτατ᾽ Ἀχαιῶν,

Od.11.479 ἦλθον Τειρεσία̱ο κατὰ χρέος, εἴ τινα βουλὴν

Od.11.480 εἴποι, ὅπως Ἰθάκην ἐς παιπαλόεσσαν ἱκοίμην·

Od.11.481 οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος οὐδέ πω ἁ̱μῆς

Od.11.482 γῆς ἐπέβην, ἀλλ᾽ αἰὲν ἔχω κακά. σεῖο δ᾽, Ἀχιλλεῦ,

Od.11.483 οὔ τις ἀνὴρ προπάροιθε μακάρτερος οὔτ᾽ ἄρ᾽ ὀπίσσω·

Od.11.484 πρὶν μὲν γάρ σε ζωὸν ἐτί̱ομεν ἶσα θεοῖσιν

Od.11.485 Ἀργεῖοι, νῦν αὖτε μέγα κρατέεις νεκύεσσιν

Od.11.486 ἐνθάδ᾽ ἐών· τῶ μή τι θανὼν ἀκαχίζευ, Ἀχιλλεῦ.’

Od.11.487 ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπε·

Od.11.488 ‘μὴ δή μοι θάνατόν γε παραύδα̱, φαίδιμ᾽ Ὀδυσσεῦ.

Od.11.489 βουλοίμην κ᾽ ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ,

Od.11.490 ἀνδρὶ παρ᾽ ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,

Od.11.491 ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

Od.11.492 ἀλλ᾽ ἄγε μοι τοῦ παιδὸς ἀγαυοῦ μῦθον ἐνίσπες,

Od.11.493 ἢ ἕπετ᾽ ἐς πόλεμον πρόμος ἔμμεναι ἦε καὶ οὐκί.

Od.11.494 εἰπὲ δέ μοι Πηλῆος ἀμύ̱μονος εἴ τι πέπυσσαι,

Od.11.495 ἢ ἔτ᾽ ἔχει τι̱μὴν πολέσιν μετὰ Μυρμιδόνεσσιν,

Od.11.496 ἦ μιν ἀτι̱μάζουσιν ἀν᾽ Ἑλλάδα τε Φθί̱ην τε,

Od.11.497 οὕνεκά μιν κατὰ γῆρας ἔχει χεῖράς τε πόδας τε.

Od.11.498 εἰ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ᾽ αὐγὰ̱ς ἠελίοιο,

Od.11.499 τοῖος ἐὼν οἷός ποτ᾽ ἐνὶ Τροίῃ εὐρείῃ

Od.11.500 πέφνον λα̱ὸν ἄριστον, ἀμύ̱νων Ἀργείοισιν, —

Od.11.501 εἰ τοιόσδ᾽ ἔλθοι̱μι μίνυνθά περ ἐς πατέρος δῶ,

Od.11.502 τῶ κέ τεῳ στύξαιμι μένος καὶ χεῖρας ἀάπτους,

Od.11.503 οἳ κεῖνον βιόωνται ἐέργουσίν τ᾽ ἀπὸ τι̱μῆς.’

Od.11.504 ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·

Od.11.505 ‘ἦ τοι μὲν Πηλῆος ἀμύ̱μονος οὔ τι πέπυσμαι,
Od.11.506 αὐτάρ τοι παιδός γε Νεοπτολέμοιο φίλοιο
Od.11.507 πᾶσαν ἀληθείην μυ̱θήσομαι, ὥς με κελεύεις·
Od.11.508 αὐτὸς γάρ μιν ἐγὼ κοίλης ἐπὶ νηὸς ἐΐ̱σης
Od.11.509 ἤγαγον ἐκ Σκύ̱ρου μετ᾽ ἐϋκνήμι̱δας Ἀχαιούς.
Od.11.510 ἦ τοι ὅτ᾽ ἀμφὶ πόλιν Τροίην φραζοίμεθα βουλά̱ς,
Od.11.511 αἰεὶ πρῶτος ἔβαζε καὶ οὐχ ἡμάρτανε μύ̱θων·
Od.11.512 Νέστωρ δ᾽ ἀντίθεος καὶ ἐγὼ νι̱κάσκομεν οἴω.
Od.11.513 αὐτὰρ ὅτ᾽ ἐν πεδίῳ Τρώων μαρναίμεθ᾽ Ἀχαιοί,
Od.11.514 οὔ ποτ᾽ ἐνὶ πληθυῖ μένεν ἀνδρῶν οὐδ᾽ ἐν ὁμί̱λῳ,
Od.11.515 ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων·
Od.11.516 πολλοὺς δ᾽ ἄνδρας ἔπεφνεν ἐν αἰνῇ δηϊοτῆτι.
Od.11.517 πάντας δ᾽ οὐκ ἂν ἐγὼ μυ̱θήσομαι οὐδ᾽ ὀνομήνω,
Od.11.518 ὅσσον λα̱ὸν ἔπεφνεν ἀμύ̱νων Ἀργείοισιν,
Od.11.519 ἀλλ᾽ οἷον τὸν Τηλεφίδην κατενήρατο χαλκῷ,
Od.11.520 ἥρω᾽ Εὐρύπυλον· πολλοὶ δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
Od.11.521 Κήτειοι κτείνοντο γυναίων εἵνεκα δώρων.
Od.11.522 κεῖνον δὴ κάλλιστον ἴδον μετὰ Μέμνονα δῖον.
Od.11.523 αὐτὰρ ὅτ᾽ εἰς ἵππον κατεβαίνομεν, ὃν κάμ᾽ Ἐπειός,
Od.11.524 Ἀργείων οἱ̯ ἄριστοι, ἐμοὶ δ᾽ ἐπὶ πάντ᾽ ἐτέταλτο,
Od.11.525 [ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον ἠδ᾽ ἐπιθεῖναι,]
Od.11.526 ἔνθ᾽ ἄλλοι Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες
Od.11.527 δάκρυά τ᾽ ὠμόργνυντο, τρέμον θ᾽ ὑπὸ γυῖα ἑκάστου·
Od.11.528 κεῖνον δ᾽ οὔ ποτε πάμπαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν
Od.11.529 οὔτ᾽ ὠχρήσαντα χρόα κάλλιμον οὔτε παρειῶν
Od.11.530 δάκρυ᾽ ὀμορξάμενον· ὁ δέ με μάλα πόλλ᾽ ἱκέτευεν
Od.11.531 ἱππόθεν ἐξέμεναι, ξίφεος δ᾽ ἐπεμαίετο κώπην
Od.11.532 καὶ δόρυ χαλκοβαρές, κακὰ δὲ Τρώεσσι μενοίνα̱.

Od.11.533 ἀλλ´ ὅτε δὴ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
Od.11.534 μοῖραν καὶ γέρας ἐσθλὸν ἔχων ἐπὶ νηὸς ἔβαινεν
Od.11.535 ἀσκηθής, οὔτ´ ἂρ βεβλημένος ὀξέϊ χαλκῷ
Od.11.536 οὔτ´ αὐτοσχεδίην οὐτασμένος, οἷά τε πολλὰ
Od.11.537 γί̱νεται ἐν πολέμῳ· ἐπιμὶξ δέ τε μαίνεται Ἄ̱ρης.’
Od.11.538 ὣς ἐφάμην, ψυ̱χὴ δὲ ποδώκεος Αἰακίδα̱ο
Od.11.539 φοίτα̱ μακρὰ βιβᾶσα κατ´ ἀσφοδελὸν λειμῶνα,
Od.11.540 γηθοσύνη, ὅ οἱ υἱὸν ἔφην ἀριδείκετον εἶναι.
Od.11.541 αἱ δ´ ἄλλαι ψυ̱χαὶ νεκύων κατατεθνηώτων
Od.11.542 ἕστασαν ἀχνύμεναι, εἴροντο δὲ κήδε´ ἑκάστη.
Od.11.543 οἴη δ´ Αἴαντος ψυ̱χὴ Τελαμωνιάδα̱ο
Od.11.544 νόσφιν ἀφεστήκει, κεχολωμένη εἵνεκα νί̱κης,
Od.11.545 τήν μιν ἐγὼ νί̱κησα δικαζόμενος παρὰ νηυσὶ
Od.11.546 τεύχεσιν ἀμφ´ Ἀχιλῆος· ἔθηκε δὲ πότνια μήτηρ,
Od.11.547 παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.
Od.11.548 ὡς δὴ μὴ ὄφελον νι̱κᾶν τοιῷδ´ ἐπ´ ἀέθλῳ·
Od.11.549 τοίην γὰρ κεφαλὴν ἕνεκ´ αὐτῶν γαῖα κατέσχεν,
Od.11.550 Αἴανθ´, ὃς περὶ μὲν εἶδος, περὶ δ´ ἔργα τέτυκτο
Od.11.551 τῶν ἄλλων Δαναῶν μετ´ ἀμύ̱μονα Πηλεΐωνα.
Od.11.552 τὸν μὲν ἐγὼν ἐπέεσσι προσηύδων μειλιχίοισιν·
Od.11.553 ‘Αἶαν, παῖ Τελαμῶνος ἀμύ̱μονος, οὐκ ἄρ´ ἔμελλες
Od.11.554 οὐδὲ θανὼν λήσεσθαι ἐμοὶ χόλου εἵνεκα τευχέ̱ω̱ν
Od.11.555 οὐλομένων; τὰ δὲ πῆμα θεοὶ θέσαν Ἀργείοισι·
Od.11.556 τοῖος γάρ σφιν πύργος ἀπώλεο· σεῖο δ´ Ἀχαιοὶ
Od.11.557 ἶσον Ἀχιλλῆος κεφαλῇ Πηληϊάδα̱ο
Od.11.558 ἀχνύμεθα φθιμένοιο διαμπερές· οὐδέ τις ἄλλος
Od.11.559 αἴτιος, ἀλλὰ Ζεὺς Δαναῶν στρατὸν αἰχμητά̱ων
Od.11.560 ἐκπάγλως ἤχθηρε, τεῒν δ´ ἐπὶ μοῖραν ἔθηκεν.

Od.11.561 ἀλλ᾽ ἄγε δεῦρο, ἄναξ, ἵν᾽ ἔπος καὶ μῦθον ἀκούσῃς
Od.11.562 ἡμέτερον· δάμασον δὲ μένος καὶ ἀγήνορα θυ̱μόν.’
Od.11.563 ὣς ἐφάμην, ὁ δέ μ᾽ οὐδὲν ἀμείβετο, βῆ δὲ μετ᾽ ἄλλας
Od.11.564 ψυ̱χὰ̱ς εἰς Ἔρεβος νεκύων κατατεθνηώτων.
Od.11.565 ἔνθα χ᾽ ὅμως προσέφη κεχολωμένος, ἤ κεν ἐγὼ τόν·
Od.11.566 ἀλλά μοι ἤθελε θυ̱μὸς ἐνὶ στήθεσσι φίλοισι
Od.11.567 τῶν ἄλλων ψυ̱χὰ̱ς ἰδέειν κατατεθνηώτων.
Od.11.568 ἔνθ᾽ ἦ τοι Μί̱νωα ἴδον, Διὸς ἀγλαὸν υἱόν,
Od.11.569 χρύ̱σε̱ο̱ν σκῆπτρον ἔχοντα θεμιστεύοντα νέκυσσιν,
Od.11.570 ἥμενον· οἱ δέ μιν ἀμφὶ δίκα̱ς εἴροντο ἄνακτα,
Od.11.571 ἥμενοι ἑσταότες τε, κατ᾽ εὐρυπυλὲς Ἄϊδος δῶ.
Od.11.572 τὸν δὲ μέτ᾽ Ὠρί̱ωνα πελώριον εἰσενόησα
Od.11.573 θῆρας ὁμοῦ εἰλεῦντα κατ᾽ ἀσφοδελὸν λειμῶνα,
Od.11.574 τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι,
Od.11.575 χερσὶν ἔχων ῥόπαλον παγχάλκεον, αἰὲν ἀα̱γές.
Od.11.576 καὶ Τιτυὸν εἶδον, Γαίης ἐρικυ̱δέος υἱόν,
Od.11.577 κείμενον ἐν δαπέδῳ. ὁ δ᾽ ἐπ᾽ ἐννέα κεῖτο πέλεθρα,
Od.11.578 γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον,
Od.11.579 δέρτρον ἔσω δύ̱νοντες· ὁ δ᾽ οὐκ ἀπαμύ̱νετο χερσί.
Od.11.580 Λητὼ γὰρ ἕλκησε, Διὸς κυ̱δρὴν παράκοιτιν,
Od.11.581 Πυ̱θώδ᾽ ἐρχομένην διὰ καλλιχόρου Πανοπῆος.
Od.11.582 καὶ μὴν Τάνταλον εἰσεῖδον χαλέπ᾽ ἄλγε᾽ ἔχοντα,
Od.11.583 ἑσταότ᾽ ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ.
Od.11.584 στεῦτο δὲ διψά̱ων, πιέειν δ᾽ οὐκ εἶχεν ἑλέσθαι·
Od.11.585 ὁσσάκι γὰρ κύψει᾽ ὁ γέρων πιέειν μενεαίνων,
Od.11.586 τοσσάχ᾽ ὕδωρ ἀπολέσκετ᾽ ἀναβροχέν, ἀμφὶ δὲ ποσσὶ
Od.11.587 γαῖα μέλαινα φάνεσκε, καταζήνασκε δὲ δαίμων.
Od.11.588 δένδρεα δ᾽ ὑψιπέτηλα κατὰ κρῆθεν χέε καρπόν,

Od.11.589 ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι
Od.11.590 συ̱κέ̱α̱ι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι·
Od.11.591 τῶν ὁπότ᾽ ἰ̱θύ̱σει᾽ ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι,
Od.11.592 τὰ̱ς δ᾽ ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα.
Od.11.593 καὶ μὴν Σί̱συφον εἰσεῖδον κρατέρ᾽ ἄλγε᾽ ἔχοντα,
Od.11.594 λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν.
Od.11.595 ἦ τοι ὁ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε
Od.11.596 λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον· ἀλλ᾽ ὅτε μέλλοι̱
Od.11.597 ἄκρον ὑπερβαλέειν, τότ᾽ ἀποστρέψασκε Κραταιΐς·
Od.11.598 αὖτις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.
Od.11.599 αὐτὰρ ὅ γ᾽ ἂψ ὤσασκε τιταινόμενος, κατὰ δ᾽ ἱδρὼς
Od.11.600 ἔρρεεν ἐκ μελέων, κονίη δ᾽ ἐκ κρα̱τὸς ὀρώρει.
Od.11.601 τὸν δὲ μέτ᾽ εἰσενόησα βίην Ἡρακληείην,
Od.11.602 εἴδωλον· αὐτὸς δὲ μετ᾽ ἀ̱θανάτοισι θεοῖσι
Od.11.603 τέρπεται ἐν θαλίῃς καὶ ἔχει καλλίσφυρον Ἥβην,
Od.11.604 [παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυ̱σοπεδί̱λου.]
Od.11.605 ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν οἰωνῶν ὥς,
Od.11.606 πάντοσ᾽ ἀτυζομένων· ὁ δ᾽ ἐρεμνῇ νυκτὶ ἐοικώς,
Od.11.607 γυμνὸν τόξον ἔχων καὶ ἐπὶ νευρῆφιν ὀϊστόν,
Od.11.608 δεινὸν παπταίνων, αἰεὶ βαλέοντι ἐοικώς.
Od.11.609 σμερδαλέος δέ οἱ ἀμφὶ περὶ στήθεσσιν ἀορτὴρ
Od.11.610 χρύ̱σεος ἦν τελαμών, ἵνα θέσκελα ἔργα τέτυκτο,
Od.11.611 ἄρκτοί τ᾽ ἀγρότεροί τε σύες χαροποί τε λέοντες,
Od.11.612 ὑσμῖναί τε μάχαι τε φόνοι τ᾽ ἀνδροκτασίαι τε.
Od.11.613 μὴ τεχνησάμενος μηδ᾽ ἄλλό τι τεχνήσαιτο,
Od.11.614 ὃς κεῖνον τελαμῶνα ἑῇ ἐγκάτθετο τέχνῃ.
Od.11.615 ἔγνω δ᾽ αἶψ᾽ ἐμὲ κεῖνος, ἐπεὶ ἴδεν ὀφθαλμοῖσι,
Od.11.616 καί μ᾽ ὀλοφυ̱ρόμενος ἔπεα πτερόεντα προσηύδα̱·

Od.11.617 ‘διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Od.11.618 ἆ δείλ᾽, ἦ τινὰ καὶ σὺ κακὸν μόρον ἡγηλάζεις,
Od.11.619 ὅν περ ἐγὼν ὀχέεσκον ὑπ᾽ αὐγὰς ἠελίοιο.
Od.11.620 Ζηνὸς μὲν πάϊς ἦα Κρονίονος, αὐτὰρ ὀϊζὺν
Od.11.621 εἶχον ἀπειρεσίην· μάλα γὰρ πολὺ χείρονι φωτὶ
Od.11.622 δεδμήμην, ὁ δέ μοι χαλεποὺς ἐπετέλλετ᾽ ἀέθλους.
Od.11.623 καί ποτέ μ᾽ ἐνθάδ᾽ ἔπεμψε κύν᾽ ἄξοντ᾽· οὐ γὰρ ἔτ᾽ ἄλλον
Od.11.624 φράζετο τοῦδέ γέ μοι κρατερώτερον εἶναι ἄεθλον.
Od.11.625 τὸν μὲν ἐγὼν ἀνένεικα καὶ ἤγαγον ἐξ Ἀΐδαο·
Od.11.626 Ἑρμείας δέ μ᾽ ἔπεμπεν ἰδὲ γλαυκῶπις Ἀθήνη.’
Od.11.627 ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη δόμον Ἄϊδος εἴσω,
Od.11.628 αὐτὰρ ἐγὼν αὐτοῦ μένον ἔμπεδον, εἴ τις ἔτ᾽ ἔλθοι
Od.11.629 ἀνδρῶν ἡρώων, οἳ δὴ τὸ πρόσθεν ὄλοντο.
Od.11.630 καί νύ κ᾽ ἔτι προτέρους ἴδον ἀνέρας, οὓς ἔθελόν περ,
Od.11.631 Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα·
Od.11.632 ἀλλὰ πρὶν ἐπὶ ἔθνε᾽ ἀγείρετο μυρία νεκρῶν
Od.11.633 ἠχῇ θεσπεσίῃ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει,
Od.11.634 μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου
Od.11.635 ἐξ Ἄϊδος πέμψειεν ἀγαυὴ Περσεφόνεια.
Od.11.636 αὐτίκ᾽ ἔπειτ᾽ ἐπὶ νῆα κιὼν ἐκέλευον ἑταίρους
Od.11.637 αὐτούς τ᾽ ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι·
Od.11.638 οἱ δ᾽ αἶψ᾽ εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
Od.11.639 τὴν δὲ κατ᾽ Ὠκεανὸν ποταμὸν φέρε κῦμα ῥόοιο,
Od.11.640 πρῶτα μὲν εἰρεσίῃ, μετέπειτα δὲ κάλλιμος οὖρος.